ianuarum claustra sigillis obsignant, quæ deinde reserant. Porrò ingressi lebetes vino plenas cernunt, pauimento parietibus omnibus integris, & illæsis, vt artis dolosæ suspicio facilè abesse videatur. Aiunt & apud eos ipsos miluos esse, qui carnes quidem in foro rapiant, cæterùm inuiolatas non tangunt. In Coronæa Bœotiæ vrbe talpæ nec viuere, nec terram fodere possunt, magna alioqui copia per totam Bœotiam redundante. In Colubris Arcadiæ ferunt fontem esse, in quo mures terrestres natare, vitámque degere soleant, atque idem etiam in Lampsaco contingere. In Cranone Thessaliæ vrbe duos esse tantùm coruos ferunt, qui se ipsos quidem aliò transferunt. Cæterùm alios totidem ex se natos relinquunt. In Apollonia, quæ iuxta regionem Taulanticam sita est, nasci aiunt bitumen, picémque instar aquarum è terra subsilentium, solo eo, quòd atra magis, densiórque proueniat. Macedonicæ absimilem. Nec procul isthinc ferunt accolæ ignem iugiter ardere, loco minimè amplo, vt qui pentaclini spatium complectatur, vnde odor suphultis, aluminísque redditur, crescítque & circa hunc herba altissima, & quod magis mirere, arbores excelsæ non plus quatuor passibus isthinc distantes. Flagrat autem continuè circa Lyciam, & Megaram Peloponnesi vrbem. Ferunt & in Illyriis iumenta & bis in annos singulos, & pleraque geminos, multa ternos, & quaternos parere, nonnulla etiam quinos, aut plures simul progignere, lactéque diurno tres semisextarios implere. Tum gallinas non semel tantùm, sed bis, térve in dies singulos oua edere. In Pæonia quoque esse aiunt feros boues omnium maximos qui vbiuis alibi sint.

Itaque igni collatum nihil differre. Atque hoc arcanum tempore non exiguo cerni: ignem enim æstate tota emitti, aquam verò omni tempore. De Siculo freto cùm alij complures scribant, tum hic stupendam in eo rem euenire inquit. Tyrrheni enim maris æstum strepitu ingenti vtrinque, cùm Siciliæ, tum

A καὶ τοῦ οἴκου κατασφραγίζεσθαι τὰς θύρας. καὶ ἐπειδὰν μέλλωσιν ἀνοίγειν, ἐπιδείξαντες τοῖς πολίταις καὶ τοῖς ξένοις τὰς σφραγῖδας, οὕτως ἀνοίγουσιν. οἱ δ᾽ εἰσελθόντες, εὑρίσκουσι τοὺς μὲν λέβητας, οἴνου πλήρεις, τὸ δὲ ἔδαφος καὶ τοὺς τοίχους, ὑγιεῖς, ὥστε μηδεμίαν ὑποψίαν [εἶναι] λαβεῖν ὡς τέχνῃ τινὶ κατασκευάζουσιν. Εἶναι δὲ φασὶ παρ᾽ αὐτοῖς καὶ ἰκτίνους, οἳ παρὰ μὲν τῶν B διὰ τῆς ἀγορᾶς τὰ κρέα φερόντων ἁρπάζουσι, τῶν δὲ ἱεροθύτων οὐχ ἅπτονται.

Ἐν Κορωνείᾳ δὲ τῆς Βοιωτίας λέγεται τοὺς ἀσπάλακας τὰ ζῷα μὴ δύνασθαι ζῆν, μηδ᾽ ὀρύσσειν τὴν γῆν, τῆς λοιπῆς Βοιωτίας πολὺ πλῆθος ἐχούσης. Ἐν Λούσοις δὲ τῆς Ἀρκαδίας, κρήνην εἶναί τινα φασὶν, ἐν ᾗ χερσαῖοι μῦες γίνονται, καὶ κολυμβῶσι, τὴν C δίαιταν ἐν ἐκείνῃ ποιούμενοι. λέγεται δὲ αὐτὸ τοῦτο καὶ ἐν Λαμψάκῳ εἶναι. Ἐν δὲ Κράνωνι τῆς Θετταλίας, φασὶ δύο κόρακας εἶναι μόνους ἐν τῇ πόλει. οὗτοι ὅταν ἐκνεοττεύσωσιν, ἑαυτοὺς μὲν, ὡς ἔοικεν, ἐκτοπίζουσιν, ἑτέρους δὲ τοσούτους τῶν ἐξ αὐτῶν γενομένων ἀπολείπουσιν. Ἐν δὲ [τῇ] Ἀπολλωνίᾳ τῇ πλησίον κειμένῃ τῆς τῶν Ταυλαντίων χώ- D ρας, φασὶ γίγνεσθαι ἄσφαλτον ὀρυκτὴν καὶ πίσσαν, τὸν αὐτὸν τρόπον ἐκ τῆς γῆς συναναπηδῶσαν τοῖς ὕδασιν, οὐδὲν διαφέρουσαν τῆς Μακεδονικῆς, μελαντέραν δὲ καὶ παχυτέραν πεφυκέναι ἐκείνης. οὐ πόῤῥω δὲ τούτου τοῦ χωρίου πῦρ ἐστι καιόμενον πάντα τὸν χρόνον, ὡς φασὶν οἱ κατοικοῦντες περὶ τὴν χώραν ἐκείνην. ὁ δὲ καιόμενος τόπος, ἐστὶν οὐ πολὺς, ὡς ἔοικεν, ἀλλ᾽ ὅσον μάλιστα πεντακλίνου τὸ μέ- E γεθος. ὄζει δὲ θείου καὶ στυπτηρίας, καὶ πέφυκε περὶ αὐτὸν πόα τε βαθεῖα, ὃ καὶ θαυμάσειεν ἄν τις μάλιστα, καὶ δένδρα μεγάλα, οὐκ ἀπέχοντα τοῦ πυρὸς πήχεις τέσσαρας. καίεται δὲ συνεχῶς περὶ Λυκίαν καὶ Μεγάλην πόλιν τὴν ἐν Πελοποννήσῳ.

Λέγεται δὲ καὶ ἐν Ἰλλυριοῖς τίκτειν τὰ βοσκήματα δὶς τοῦ ἐνιαυτοῦ, καὶ τὰ πλεῖστα διδυμοτοκεῖν· καὶ πολλὰ δὲ τρεῖς ἢ τέσσαρας ἐρίφους τίκτειν, ἔνια δὲ καὶ πέντε καὶ πλείους. ἔτι δὲ γάλακτος ἀφιέναι ῥᾳδίως τρία ἡμίχοα. λέγουσι δὲ καὶ τὰς ἀλεκτορίδας, οὐχ ὥσπερ παρὰ τοῖς ἄλλοις ἅπαξ τίκτειν, ἀλλὰ δὶς καὶ τῆς ἡμέρας. Λέγεται [δὲ] καὶ ἐν τῇ Παιονίᾳ τοὺς βοῦς τοὺς ἀγρίους πολὺ μεγίστους ἁπάντων τῶν ἐν τοῖς λοιποῖς ἔθνεσι γίγνεσθαι. Περὶ δὲ τοῦ πορθμοῦ τῆς Σικελίας καὶ ἄλλοι μὲν πλείους γεγράφασι, καὶ οὗτος δέ φησι συμβαίνειν τερατῶδες. ἐκ γὰρ τοῦ Ταῤῥηνικοῦ πελάγους πολλῷ ῥοίζῳ φερόμενον τὸν κλύδωνα, προσβάλλειν πρὸς ἀμφότερα τὰ ἀκρωτήρια, τὸ μὲν τοῦ Σικε-